# ETA SIGMA PHI 71st Annual Greek Translation Contest (2020)

## Intermediate Greek

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

Xenophon praises the virtue of hunting, which makes men good soldiers.

περὶ μὲν αὐτῶν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις εἴρηται.

ὠφελήσονται δ᾽ οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔργου πολλά· ὑγίειάν τε γὰρ τοῖς σώμασι παρασκευάζει καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον, τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει.

πρῶτον μὲν γὰρ τὰ ὅπλα ὅταν ἔχοντες πορεύωνται ὁδοὺς χαλεπάς, οὐκ ἀπεροῦσιν· ἀνέξονται γὰρ τοὺς πόνους διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία. ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου.

ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους ἅμα οἷοί τε ἔσονται ἐπιέναι καὶ τὰ παραγγελλόμενα ποιεῖν διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. τεταγμένοι δὲ ἐν τῷ πρόσθεν οὐ λείψουσι τὰς τάξεις διὰ τὸ καρτερεῖν δύνασθαι.

ἐν φυγῇ δὲ τῶν πολεμίων ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ διὰ συνήθειαν. δυστυχήσαντος δὲ οἰκείου στρατοπέδου ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις ἢ ἄλλως χαλεποῖς οἷοί τ᾽ ἔσονται καὶ αὐτοὶ σῴζεσθαι μὴ αἰσχρῶς καὶ ἑτέρους σῴζειν· ἡ γὰρ συνήθεια τοῦ ἔργου παρέξει αὐτοῖς πλέον τι εἰδέναι.

ὠφελέω help, aid
ἐπιθυμέω desire, pursue, long for
κυνηγέσιον hunt, chase

ἀπερῶ give up, fail, grow tired
ἀνέχομαι bear up, be of good courage
ἐθίζω be accustomed
εὐνάζομαι go to bed, go to sleep
σκληρός hard σκληρῶς in hard circumstances, *sc.* on a hard bed
ἐπιτάττω command, order

πρόσοδος attack, onset

παραγγέλλω give orders
ἄγρα quarry, prey
τάξις battle array, line of soldiers
καρτερέω be steadfast, endure, bear up

ἀσφαλῶς safely, without faltering
συνήθεια habit, custom, habituation
δυστυχέω be unlucky, unfortunate
στρατόπεδον camp, army
ὑλώδης wooded, forested
ἀπόκρημνος precipitous
παρέχω furnish, supply, allow